UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

## Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

**Socrates <Scholasticus>**

**Mogvntiae, 1677**

Cap. XXII. Qualiter Imperator Acesium quoque Novatianorum Episcopum ad Nicaenam Synodum vocaverit.

urn:nbn:de:hbz:466:1-14233

Visual Library

haberentur, & si quod illorum scriptum A inventum esset, traderetur incendio: ita ut nec ipsius, nec dogmatis ab illo invecti monumentum ullum relinqueretur. Quod si quis hujusmodi scriptum occultare deprehensus fuisset, nec statim in medium proferens illud combussisset, morte & capitali supplicio eum mulctari præcepit. Multas quoque alias per singulas civitates direxit Epistolas, contra Arium & eos qui idem cum illo sentiebant. Et Eusebium quidem ac Theognium ex civitatibus in quibus erant Episcopi, exulare jussit. Ecclesiæ vero Nicomediensi & Nicænensi scripsit, ut B fidem quæ à Synodo tradita fuerat constanter retinerent: utque orthodoxos eligerent Episcopos, eisque obtemperarent, illos vero oblivioni traderent. Si qui autem istos laudare aut opinioni illorum consentire vellent, in eos se animadversurum minatus est. Porro in iisdem literis, alia quoque de causa infensum se esse Eusebio significavit, eo quod antea tyranni partibus favisset, sibique ipsi insidias struxisset. Harum igitur imperialium literarum auctoritate, Eusebius ac Theognius Ecclesiis suis ejecti sunt. Ac Nicomediensis quidem Ecclesiæ Episcopatum Amphion: Nicenæ vero Chrestus suscepit. Post terminatam controversiam de Doctrina fi- C dei, placuit Synodo, ut omnes festum Paschale uno eodemque die celebrarent.

σθῆναι εἴ τι αὐτῶν διεσώζετο σύγγραμμα, ὥστε μή τε αὐτοῦ, μή τε τοῦ δόγματος οὗ εἰσηγήσατο, ὑπόμνημα φέρεσθαι· εἰ δέ τις φωραθείη κρύπτων, καὶ μὴ παραχρῆμα καταμηνύσας ἐμπρήσῃ, θάνατον εἶναι τὴν ζημίαν, καὶ τιμωρίαν εἰς κεφαλήν. καὶ ἄλλας δὲ κατὰ πόλιν ἐπιστολὰς διεπέμψατο, κατὰ Ἀρείου καὶ τῶν ὁμοδόξων αὐτοῦ· Εὐσέβιον δὲ καὶ Θεόγνιον, φεύγειν προσέταξεν ἃς ἐπεσκόπουν πόλεις· τῇ δὲ Νικομηδέων ἐκκλησίᾳ ἔγραψεν, ἔχεσθαι τῆς πίστεως ἣν ἡ σύνοδος παρέδωκεν· ὀρθοδόξους δὲ προβάλλεσθαι ἐπισκόπους, καὶ τούτοις πείθεσθαι· τῶν δὲ λήθῃ παραδοῦναι τὴν μνήμην· τοὺς δὲ ἐπαινεῖν ἢ τὰ αὐτῶν φρονεῖν ἐπιχειροῦντας, ἠπείλησε τιμωρεῖσθαι· ἐν τούτοις δὲ τοῖς γράμμασι, καὶ ἄλλως ἀπεχθάνεσθαι πρὸς Εὐσέβιον ἐδήλου, ὡς πρότερον ἤδη τὰ τοῦ τυράννου φρονήσαντα, καὶ αὐτῷ ἐπιβουλεύσαντα· κατὰ ταῦτα μὲν οὖν τὰ τοῦ βασιλέως γράμματα, ἀφῃρέθησαν ὧν εἶχον ἐκκλησιῶν Εὐσέβιός τε καὶ Θέογνις· παραλαμβάνει δὲ τὴν Νικομηδέων Ἀμφίων· Χρῆστος δὲ τὴν Νίκαιαν. παυσαμένης δὲ τῆς ἐπὶ τῷ δόγματι ζητήσεως, ἔδοξε τῇ συνόδῳ καὶ τὴν πασχαλίαν ἑορτὴν ἅπαντας κατὰ τὸν αὐτὸν ἐπιτελεῖν καιρόν.

## Cap. XXII.

*Qualiter Imperator Acesium quoque Novatianorum Episcopum ad Nicænam Synodum vocaverit.*

FErtur porro Imperatorem, cum omnium Christianorum consuleret concordiæ, Acesium quoque Novatia- D norum Episcopum ad Synodum evocasse: eique regulam fidei & definitionem de festo Paschali ostendisse, Episcoporum subscriptionibus jam firmatam: ac simul interrogasse, num & ipse iis consentiret. Acesium vero respondisse, nihil novi definitum esse; & approbasse ea quæ à Synodo decreta fuerant: siquidem ipse ab initio ita credendum esse accepisset, diemq; festum ita celebrandum. Tum Imperator: Cur ergo, inquit, cum

## Κεφ. κβʹ.

*Ὅτι καὶ Ἀκέσιον τὸν τῶν Ναυατιανῶν ἐπίσκοπον, εἰς τὴν πρώτην σύνοδον ὁ βασιλεὺς μετεκαλέσατο.*

ΛΈγεται δὲ τὸν βασιλέα τῆς πάντων Χριστιανῶν ὁμονοίας προνοοῦντα, καὶ Ἀκέσιον, ὃς ἐπίσκοπος ἦν τῆς Ναυατιανῶν ἐκκλησίας, ἐπὶ τὴν σύνοδον καλέσαι· καὶ τὸν περὶ τῆς πίστεως καὶ τῆς ἑορτῆς ἐπιδεῖξαι ὅρον, ἤδη δὲ βεβαιωθέντα ταῖς τῶν ἐπισκόπων ὑπογραφαῖς· πυθέσθαι τε εἰ καὶ αὐτὸς τούτοις συναινεῖ· τὸν δὲ φάναι, μηδὲν ὡρίσθαι καινόν, καὶ ἐπαινέσαι τὸ τῇ συνόδῳ δόξαν· οὕτω γὰρ καὶ αὐτὸς ἀπ' ἀρχῆς παρειληφέναι πιστεύειν τε καὶ τάξειν· τί οὖν, ἔφη ὁ βασιλεύς, ὁμο-

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

φρονῶν, χωρίζεις τῆς κοινωνίας· τοῦ δὲ προφέροντος τὴν ἐπὶ Δεκίου Ναυάτῳ καὶ Κορνηλίῳ συμβᾶσαν διαφορὰν, καὶ ὡς μετὰ τὸ βάπτισμα κοινωνίας οὐκ ἀξιοῖ μυστηρίων τοὺς ἁμαρτίας ἐνόχους, ἣν πρὸς θάνατον καλοῦσιν αἱ θεῖαι γραφαί· θεοῦ γὰρ ἐξουσίας μόνου, οὐχ ἱερέων ἠρτῆσθαι τὴν ἄφεσιν· ὑπολαβὼν ὁ βασιλεὺς εἶπεν· ὦ Ἀκέσιε, κλίμακα θὲς, καὶ μόνος εἰς οὐρανοὺς ἀνάβηθι. ταῦτα δὲ οἶμαι εἰπεῖν τὸν βασιλέα πρὸς Ἀκέσιον, οὐκ ἐπαινοῦντα· ἀλλ' ὅτι ἄνθρωποι ὄντες, ἀναμαρτήτους σφᾶς εἶναι νομίζουσιν.

A idem sentias, te à communione sejungis. Cumque Acesius in medium proferret dissensionem illam, quæ principatu Decii Augusti inter Novatū & Cornelium contigerat; seque sacramentorum communione indignos judicare, eos qui peccatum id quod sacræ Scripturæ ad mortem vocant, post baptismum admisissent: hujusmodi enim peccati remissionem ex solius Dei potestate, non ex sacerdotum arbitrio pendere; subjecit Imperator; Pone scalam Acesi, solusque in cœlum ascende. Quæ quidem Imperatorem Acesio dixisse arbitror, non B quod eum laudaret: sed potius ut reprehenderet, quòd cum homines essent, sine peccato se esse existimarent.

## Κεφ. κγ΄.

*Περὶ τῶν κανόνων οὓς ἡ σύνοδος ἔθετο· καὶ ὡς Παφνούτιός τις ὁμολογητὴς διεκώλυσε τὴν σύνοδον, βουλομένην θεῖναι κανόνα, παρθενίαν ἀσκεῖν πάντας τοὺς ἱερωσύνῃ τιμᾶσθαι μέλλοντας.*

Ἡ δὲ σύνοδος, ἐπανορθῶσαι τὸν βίον σπουδάζουσα τῶν περὶ τὰς ἐκκλησίας διατριβόντων, ἔθετο νόμους, οὓς κανόνας ὀνομάζουσιν· ἐν δὲ τῷ περὶ τούτου βουλεύεσθαι, τοῖς μὲν ἄλλοις ἐδόκει νόμον ἐπεισάγειν, ἐπισκόπους καὶ πρεσβυτέρους, διακόνους τε καὶ ὑποδιακόνους, μὴ συγκαθεύδειν ταῖς γαμεταῖς ἃς πρὶν ἱερᾶσθαι ἠγάγοντο· ἀναστὰς δὲ Παφνούτιος ὁ ὁμολογητὴς, ἀντεῖπε· τίμιόν τε τὸν γάμον ἀποκαλῶν, σωφροσύνην τε τὴν πρὸς τὰς ἰδίας γυναῖκας συνουσίαν, συνεβούλευσε τῇ συνόδῳ μὴ τοιοῦτον θέσθαι νόμον· χαλεπὸν γὰρ εἶναι τὸ πρᾶγμα φέρειν· ἴσως δὲ καὶ αὐτοῖς, καὶ ταῖς τούτων γαμεταῖς, τοῦ μὴ σωφρονεῖν αἰτία γενήσεται· κατὰ δὲ τὴν ἀρχαίαν τῆς ἐκκλησίας παράδοσιν, τοὺς μὲν ἀγάμους τοῦ ἱερατικοῦ τάγματος κοινωνήσαντας, μηκέτι γαμεῖν· τοὺς δὲ μετὰ γάμον, ὧν ἔχουσι γαμετῶν μὴ χωρίζεσθαι· καὶ ταῦτα μὲν ὁ Παφνούτιος, καίπερ ἄπειρος ὢν γάμου, εἰσηγήσατο· ἐπῄνεσε δὲ καὶ ἡ σύνοδος τὴν βουλὴν, καὶ περὶ τούτου οὐδὲν ἐνομοθέτησεν· ἀλλὰ τῇ ἑκάστου γνώμῃ τὸ πρᾶγμα, οὐκ ἐν ἀνάγκῃ ἔθετο· περὶ δὲ τῶν ἄλλων ἅπερ αὐτῇ καλῶς ἔχειν ἐδόκει, νό-

## Caput XXIII.

*De regulis à Synodo constitutis: & quod cum Synodus Canonem sancire vellet, ut omnes qui ad sacerdotium promovendi essent, virginitatem colerent, Paphnutius quidam confessor intercessit.*

C Cæterum Synodus, eorum qui in Ecclesiis versantur, mores corrigere studens, leges quasdam constituit, quæ vulgo Canones appellantur. Cumq; hac de re inter se deliberarent, aliis quidem placebat legem ferri, ut Episcopi & Presbyteri, Diaconi item ac Subdiaconi, non cubarent cum uxoribus quas priusquam sacrarentur, duxissent. Verum Paphnutius confessor surgens contradixit; nuptiasq; honorabiles vocans, & congressum viri cum uxore sua castitatem esse dicens, consilium dedit Synodo ne hujusmodi legem ferret. Rem enim esse toleratu difficilem: ac fortasse D occasionem incontinentiæ tum ipsis, tum uxoribus ipsorum inde subministrandam. Porro autem veterem Ecclesiæ traditionem hanc esse, ut qui cælibes ad sacrum ordinem promoti essent, uxorem posthac non ducerent: conjugati vero à suis uxoribus minime separarentur. Et hæc quidem suasit Paphnutius, tametsi expers conjugii, Synodus vero consilium ejus probavit, nec ullam ea de re legem tulit: sed in cujusque arbitrio, non autem ex necessitate id esse voluit. De aliis autem rebus, prout ipsi rectum esse videbatur,